ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΠΑΤΡΙΑΡΧΕΙΟΝ ÖKUMENISCHES PATRIARCHAT

Ἱερὰ Μητρόπολις
Αὐστρίας καὶ
Ἐξαρχία Οὐγγαρίας
καὶ Μεσευρώπης

Heilige Metropolis
von Austria und
Exarchat von Ungarn
und Mitteleuropa

Ἐπὶ τὰς Πηγὰς

Κυριακή, 8 Νοεμβρίου 2026

Κυριακὴ Ζ΄ Λουκᾶ.
Ἡ Σύναξις τῶν Ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριὴλ καὶ τῶν λοιπῶν Ἀσωμάτων Δυνάμεων.

Ἑωθινὸν Εὐαγγέλιον Α΄ (Ματθ. κη΄: 16–20)

Ἐξαποστειλάρια. Ἦχος β΄

Τοῖς Μαθηταῖς συνέλθωμεν, ἐν ὄρει Γαλιλαίας, πίστει Χριστὸν θεάσασθαι, λέγοντας ἐξουσίαν, λαβεῖν τῶν ἄνω καὶ κάτω· μᾶθωμεν πῶς διδάσκει, βαπτίζειν εἰς τὸ ὄνομα, τοῦ Πατρός, ἔθνη πάντα, καὶ τοῦ Υἱοῦ, καὶ Ἁγίου Πνεύματος, καὶ συνεῖναι, τοῖς μύσταις ὡς ὑπέσχετο, ἕως τῆς συντελείας.

Ἐξουσιῶν Δυνάμεων, Ἀρχαγγέλων Ἀγγέλων, Κυριοτήτων Θρόνων τε, καὶ Ἀρχῶν πρωτοστάτης, ὑπὸ Θεοῦ κατεστάθης, Ἀρχιστράτηγε θεῖε, Μιχαὴλ ὑπερένδοξε· τῷ ἀστέκτῳ οὖν θρόνῳ, παρεστηκώς, σκέπε φρούρει φύλαττε σῶζε πάντας, τοὺς πίστει σε γεραίροντας, τὸν τοῦ κόσμου προστάτην.

Στιχηρὰ Προσόμοια τοῦ Ἀρχιστρατήγου Μιχαήλ. Ἦχος α΄.

Τῶν οὐρανίων ταγμάτων ὡς προεξάρχοντα, καὶ τῶν ἐν γῇ ἀνθρώπων, ἰσχυρὸν σε προστάτην, φύλακα καὶ ῥύστην, ὑμνοῦμεν πιστῶς, Μιχαὴλ ἀρχιστράτηγε, καθικετεύοντες πάσης φθοροποιοῦ, ἀλγηδόνος ἡμᾶς ῥύσασθαι.

Ὁ ταξιάρχης τῶν ἄνω θείων Δυνάμεων, σήμερον συγκαλεῖται, τῶν βροτῶν τὰς χορείας, μίαν σὺν Ἀγγέλοις φαιδρὰν ἑορτήν, συγκροτῆσαι συνάξεως, αὐτῶν τῆς θείας, καὶ ἅμα ὕμνον Θεῷ, ἀναμέλψαι

Zu den Quellen

Sonntag, 8. November 2026

Sechster Lukassonntag.
Synaxis der Erzengel Michael und Gabriel und der übrigen körperlosen Mächte.

Morgenevangelium I (Mt 28,16–20)

Exaposteilarion. Zweiter Ton

Lasst uns mit den Jüngern zusammenkommen auf dem Berg in Galiläa, um Christus im Glauben zu schauen, der sagt, Er habe die Vollmacht über Himmel und Erde empfangen. Lasst uns lernen, wie Er lehrt, alle Völker zu taufen auf den Namen des Vaters und des Sohnes und des Heiligen Geistes, und wie Er versprochen hat, bei den Eingeweihten zu sein bis zum Ende der Zeit.

Als Anführer der Mächte, Erzengel, Engel, Herrschaften, Throne und Herrschaften bist du von Gott eingesetzt worden, göttlicher Erzengel, hochgepriesener Michael. Vor dem unerschütterlichen Thron stehend, schütze, bewahre, behüte und rette alle, die dich im Glauben ehren, du Beschützer der Welt.

Stichera Prosomia des Erzengels Michael. Erster Ton

Als Vorsteher der himmlischen Scharen und als starken Beschützer, Wächter und Retter der Menschen auf Erden preisen wir dich gläubig, Erzengel Michael, und bitten dich, uns von jeder verderblichen Pein zu erlösen.

Der Heerführer der göttlichen Kräfte oben ruft heute die Chöre der Sterblichen zusammen, dass sie mit den Engeln ein strahlendes Fest ihrer göttlichen

τὸν Τρισάγιον.

Ὑπὸ τὴν σκέπην τῶν θείων ἡμᾶς πτερύγων σου, προσπεφευγότας πίστει, Μιχαὴλ θεῖε νόε, φύλαττε καὶ σκέπε ἐν βίῳ παντί, καὶ ἐν ὥρᾳ Ἀρχάγγελε, τῇ τοῦ θανάτου σὺ πάρεσο βοηθός, ἡμῖν πᾶσιν εὐμενέστατος.

Δοξαστικόν. Ἦχος πλ. α΄

Ὅπου ἐπισκιάσῃ ἡ χάρις σου Ἀρχάγγελε, ἐκεῖθεν τοῦ διαβόλου διώκεται ἡ δύναμις· σὺ φέρει γὰρ τῷ φωτί σου προσμένειν, ὁ πεσὼν Ἑωσφόρος. Διὸ αἰτοῦμέν σε, τὰ πυρφόρα αὐτοῦ βέλη, τὰ καθ' ἡμῶν κινούμενα ἀπόσβεσον, τῇ μεσιτείᾳ σου λυτρούμενος ἡμᾶς, ἐκ τῶν σκανδάλων αὐτοῦ, ἀξιύμνητε Μιχαὴλ Ἀρχάγγελε.

Ἀπολυτίκιον Ἀναστάσιμον. Ἦχος πλ. β΄

Ἀγγελικαὶ Δυνάμεις ἐπὶ τὸ μνήμα σου, καὶ οἱ φυλάσσοντες ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ ζητοῦσα τὸ ἄχραντόν σου σῶμα. Ἐσκύλευσας τὸν Ἅδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ· ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

Ἀπολυτίκιον τῶν Ἀρχαγγέλων. Ἦχος δ΄

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι, τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας· Ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς Ταξιάρχαι τῶν ἄνω Δυνάμεων.

Ἀπολυτίκιον τοῦ Ναοῦ. Ἦχος δ΄

Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας· φιλάνθρωπε, δόξα σοι.

Κοντάκιον. Ἦχος δ΄.

Ὁ καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι Θεῖῳ· ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ· Αὕτη ὑπάρχει

Versammlung feiern und gemeinsam Gott den dreimalheiligen Hymnus singen.

Unter dem Schirm deiner göttlichen Flügel, die wir gläubig zu dir geflohen sind, göttlicher Geist Michael, bewahre und beschütze uns im ganzen Leben, und in der Stunde des Todes, Erzengel, sei uns allen ein gütigster Helfer.

Doxastikon. Sechster Ton

Wo deine Gnade Schatten wirft, Erzengel, von dort wird die Macht des Teufels vertrieben; denn der gefallene Morgenstern kann dein Licht nicht ertragen. Deshalb bitten wir dich: Lösche seine feurigen Pfeile aus, die gegen uns gerichtet sind, und erlöse uns durch deine Fürbitte von seinen Anstößen, hochgepriesener Erzengel Michael.

Auferstehungsapolytikion. Sechster Ton

Die engelischen Mächte erschienen an Deinem Grab, und die Wächter wurden wie tot. Maria stand am Grab und suchte Deinen unbefleckten Leib. Du hast den Hades beraubt, ohne von ihm versucht zu werden; Du bist der Jungfrau begegnet und hast das Leben geschenkt. Der Du von den Toten auferstanden bist, Herr, Ehre sei Dir.

Apolytikion der Erzengel. Vierter Ton

Ihr Anführer der himmlischen Heerscharen, wir Unwürdigen flehen euch an, dass ihr uns durch eure Fürbitten schützt, im Schatten der Flügel eurer unstofflichen Herrlichkeit, und uns bewahrt, die wir euch eifrig anrufen und ausrufen: Errettet uns aus den Gefahren, ihr Taxiarchen der oberen Mächte.

Apolytikion der Kirche. Vierter Ton

Gepriesen bist Du, Christus unser Gott, zu Allweisen hast Du die Fischer gemacht, indem Du ihnen sandtest den Heiligen Geist. Du hast durch sie den Erdkreis eingefangen, Ehre sei Dir, Menschenliebender.

Kontakion. Vierter Ton

Der reinste Tempel des Erlösers, die kostbare Brautkammer und Jungfrau, der heilige Schatz der Herrlichkeit Gottes, wird heute in das Haus des Herrn eingeführt und bringt die Gnade des göttlichen Geistes mit sich; von ihr singen die Engel Gottes: Sie ist das himmlische Zelt.

σκηνὴ ἐπουράνιος.

Προκείμενον. Ἦχος δ΄

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

Ἀποστολικὸν Ἀνάγνωσμα (Ἑβρ. β΄: 2–10)

Εἰ γὰρ ὁ δι' ἀγγέλων λαληθεῖς λόγος ἐγένετο βέβαιος, καὶ πᾶσα παράβασις καὶ παρακοὴ ἔλαβεν ἔνδικον μισθαποδοσίαν, πῶς ἡμεῖς ἐκφευξόμεθα τηλικαύτης ἀμελήσαντες σωτηρίας; ἥτις ἀρχὴν λαβοῦσα λαλεῖσθαι διὰ τοῦ Κυρίου, ὑπὸ τῶν ἀκουσάντων εἰς ἡμᾶς ἐβεβαιώθη, συνεπιμαρτυροῦντος τοῦ Θεοῦ σημείοις τε καὶ τέρασι καὶ ποικίλαις δυνάμεσι καὶ Πνεύματος Ἁγίου μερισμοῖς κατὰ τὴν αὐτοῦ θέλησιν. Οὐ γὰρ ἀγγέλοις ὑπέταξε τὴν οἰκουμένην τὴν μέλλουσαν, περὶ ἧς λαλοῦμεν· διεμαρτύρατο δέ πού τις λέγων· τί ἐστιν ἄνθρωπος ὅτι μιμνήσκῃ αὐτοῦ, ἢ υἱὸς ἀνθρώπου ὅτι ἐπισκέπτῃ αὐτόν; ἠλάττωσας αὐτὸν βραχύ τι παρ' ἀγγέλους, δόξῃ καὶ τιμῇ ἐστεφάνωσας αὐτόν· πάντα ὑπέταξας ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Ἐν τῷ γὰρ ὑποτάξαι αὐτῷ τὰ πάντα οὐδὲν ἀφῆκεν αὐτῷ ἀνυπότακτον. Νῦν δὲ οὔπω ὁρῶμεν αὐτῷ τὰ πάντα ὑποτεταγμένα· τὸν δὲ βραχύ τι παρ' ἀγγέλους ἠλαττωμένον βλέπομεν Ἰησοῦν διὰ τὸ πάθημα τοῦ θανάτου δόξῃ καὶ τιμῇ ἐστεφανωμένον, ὅπως χάριτι Θεοῦ ὑπὲρ παντὸς γεύσηται θανάτου. Ἔπρεπε γὰρ αὐτῷ, δι' ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα, πολλοὺς υἱοὺς εἰς δόξαν ἀγαγόντα τὸν ἀρχηγὸν τῆς σωτηρίας αὐτῶν διὰ παθημάτων τελειῶσαι.

Εὐαγγέλιον (Λκ. η΄: 41–56)

Τῷ καιρῷ ἐκείνῳ, ἄνθρωπός τις προσῆλθε τῷ Ἰησοῦ ᾧ ὄνομα Ἰάειρος, καὶ αὐτὸς ἄρχων τῆς συναγωγῆς ὑπῆρχεν· καὶ πεσὼν παρὰ τοὺς πόδας τοῦ Ἰησοῦ

Prokeimenon. Vierter Ton

Der Seine Engel zu Geistern macht und Seine Diener zu flammendem Feuer.

Vers: Preise, meine Seele, den Herrn. Herr, mein Gott, wie groß bist Du.

Apostellesung (Hebr 2,2–10)

Denn wenn schon das durch Engel verkündete Wort fest und unverbrüchlich war und jede Übertretung und jeder Ungehorsam die gerechte Strafe fand, wie werden wir dann entrinnen, wenn wir ein so großes Heil missachten? Dieses Heil wurde zuerst vom Herrn verkündet und von denen, die es gehört hatten, für uns bestätigt, wobei Gott selbst durch Zeichen, Wunder und mannigfache Machttaten sowie durch Gaben des Heiligen Geistes, die er nach seinem Willen verteilte, Zeugnis ablegte. Denn nicht Engeln hat er die kommende Welt unterworfen, von der wir reden. Vielmehr hat irgendwo jemand bezeugt: Was ist der Mensch, dass du an ihn denkst, oder der Menschensohn, dass du dich seiner annimmst? Du hast ihn nur für kurze Zeit unter die Engel erniedrigt, mit Herrlichkeit und Ehre hast du ihn gekrönt und ihm alles zu Füßen gelegt. Wenn er ihm alles unterworfen hat, dann hat er nichts ausgelassen, das ihm nicht unterworfen wäre. Jetzt aber sehen wir noch nicht, dass ihm alles unterworfen ist; wir sehen aber Jesus, der für kurze Zeit unter die Engel erniedrigt war, wegen seines Todesleidens mit Herrlichkeit und Ehre gekrönt; durch Gottes Gnade sollte er für alle den Tod erleiden. Denn es war angemessen, dass Gott, für den und durch den alles ist und der viele Söhne zur Herrlichkeit führen wollte, den Urheber ihres Heils durch Leiden vollendete.

Evangelium (Lk 8,41–56)

Zu jener Zeit trat ein Mann namens Jairus an Jesus heran; er war Vorsteher der Synagoge. Er fiel Jesus zu Füßen und bat ihn, in sein Haus zu kommen, denn er hatte eine einzige Tochter von etwa zwölf Jahren, und diese lag im Sterben. Während Jesus hinging, drängten ihn die Volksmengen. Und eine Frau, die seit zwölf

παρεκάλει αὐτὸν εἰσελθεῖν εἰς τὸν οἶκον αὐτοῦ, ὅτι θυγάτηρ μονογενὴς ἦν αὐτῷ ὡς ἐτῶν δώδεκα, καὶ αὕτη ἀπέθνῃσκεν. Ἐν δὲ τῷ ὑπάγειν αὐτὸν οἱ ὄχλοι συνέπνιγον αὐτόν. Καὶ γυνὴ οὖσα ἐν ῥύσει αἵματος ἀπὸ ἐτῶν δώδεκα, ἥτις ἰατροῖς προσαναλώσασα ὅλον τὸν βίον οὐκ ἴσχυσεν ὑπ' οὐδενὸς θεραπευθῆναι, προσελθοῦσα ὄπισθεν ἥψατο τοῦ κρασπέδου τοῦ ἱματίου αὐτοῦ, καὶ παραχρῆμα ἔστη ἡ ῥύσις τοῦ αἵματος αὐτῆς. Καὶ εἶπεν ὁ Ἰησοῦς· Τίς ὁ ἁψάμενός μου; ἀρνουμένων δὲ πάντων εἶπεν ὁ Πέτρος· Ἐπιστάτα, οἱ ὄχλοι συνέχουσίν σε καὶ ἀποθλίβουσιν. Ὁ δὲ Ἰησοῦς εἶπεν· Ἥψατό μού· ἐγὼ γὰρ ἔγνων δύναμιν ἐξελθοῦσαν ἀπ' ἐμοῦ. Ἰδοῦσα δὲ ἡ γυνὴ ὅτι οὐκ ἔλαθεν, τρέμουσα ἦλθεν καὶ προσπεσοῦσα αὐτῷ δι' ἣν αἰτίαν ἥψατο αὐτοῦ ἀπήγγειλεν ἐνώπιον παντὸς τοῦ λαοῦ καὶ ὡς ἰάθη παραχρῆμα. Ὁ δὲ εἶπεν αὐτῇ· Θύγατερ, ἡ πίστις σου σέσωκέν σε· πορεύου εἰς εἰρήνην. Ἔτι αὐτοῦ λαλοῦντος ἔρχεταί τις παρὰ τοῦ ἀρχισυναγώγου λέγων αὐτῷ ὅτι Τέθνηκεν ἡ θυγάτηρ σου· μὴ σκύλλε τὸν διδάσκαλον. Ὁ δὲ Ἰησοῦς ἀκούσας ἀπεκρίθη αὐτῷ· Μὴ φοβοῦ, μόνον πίστευε, καὶ σωθήσεται. Ἐλθὼν δὲ εἰς τὴν οἰκίαν οὐκ ἀφῆκεν εἰσελθεῖν τινα σὺν αὐτῷ εἰ μὴ Πέτρον καὶ Ἰωάννην καὶ Ἰάκωβον καὶ τὸν πατέρα τῆς παιδὸς καὶ τὴν μητέρα. Ἔκλαιον δὲ πάντες καὶ ἐκόπτοντο αὐτήν. Ὁ δὲ εἶπεν· Μὴ κλαίετε· οὐκ ἀπέθανεν ἀλλὰ καθεύδει. Καὶ κατεγέλων αὐτοῦ εἰδότες ὅτι ἀπέθανεν. Αὐτὸς δὲ κρατήσας τῆς χειρὸς αὐτῆς ἐφώνησεν λέγων· Ἡ παῖς, ἔγειρε. Καὶ ἐπέστρεψεν τὸ πνεῦμα αὐτῆς, καὶ ἀνέστη παραχρῆμα, καὶ διέταξεν αὐτῇ δοθῆναι φαγεῖν. Καὶ ἐξέστησαν οἱ γονεῖς αὐτῆς· ὁ δὲ παρήγγειλεν αὐτοῖς μηδενὶ εἰπεῖν τὸ γεγονός.

Jahren an Blutfluss litt und, obwohl sie ihren ganzen Besitz an Ärzte ausgegeben hatte, von niemand geheilt werden konnte, kam von hinten heran und berührte den Saum seines Gewandes; und sogleich hörte ihr Blutfluss auf. Jesus aber sprach: Wer hat mich berührt? Als alle es leugneten, sprach Petrus: Meister, die Volksmengen drängen und drücken dich! Jesus aber sprach: Es hat mich jemand berührt; denn ich habe gespürt, dass Kraft von mir ausgegangen ist. Als die Frau aber sah, dass sie nicht verborgen blieb, kam sie zitternd, fiel vor ihm nieder und berichtete vor dem ganzen Volk, aus welchem Grund sie ihn berührt hatte und wie sie sogleich geheilt worden war. Er aber sprach zu ihr: Tochter, dein Glaube hat dich geheilt; geh hin in Frieden. Während er noch redete, kommt einer vom Haus des Synagogenvorstehers und sagt zu ihm: Deine Tochter ist gestorben; bemühe den Lehrer nicht mehr. Jesus aber, der es hörte, antwortete ihm: Fürchte dich nicht, glaube nur, und sie wird gerettet werden. Als er aber in das Haus kam, erlaubte er niemand hineinzugehen außer Petrus, Johannes und Jakobus sowie dem Vater und der Mutter des Mädchens. Alle aber weinten und klagten um sie. Er aber sprach: Weint nicht! Denn sie ist nicht gestorben, sondern sie schläft. Und sie lachten ihn aus, da sie wussten, dass sie gestorben war. Er aber ergriff ihre Hand und rief: Mädchen, steh auf! Und ihr Geist kehrte zurück, und sogleich stand sie auf; und er befahl, ihr zu essen zu geben. Und ihre Eltern gerieten außer sich; er aber gebot ihnen, niemand zu sagen, was geschehen war.

Ἡ Ἱερὰ Μητρόπολις Αὐστρίας σᾶς εὐχαριστεῖ γιὰ τὴν ἐνίσχυση τοῦ ἔργου της.
Die Metropolis von Austria dankt für Ihre großzügige Unterstützung.
https://www.metropolisvonaustria.at
Körperschaft des öffentlichen Rechts gemäß Gesetz 229/23.06.1967
Bankverbindung RLB NOE Wien AG – IBAN: AT67 3200 0000 0660 4771 – BIC: RLNATWW